μετὰ τῶν πατέρων αὐτοῦ καὶ ἐτάφη ἐν πόλει Δαυιδ, καὶ ἐβασίλευ-
σεν Μανασσης υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.
1 Υἱὸς δώδεκα ἐτῶν Μανασσης ἐν τῷ βασιλεύειν αὐτὸν καὶ πεν- 21
τήκοντα καὶ πέντε ἔτη ἐβασίλευσεν ἐν Ιερουσαλημ, καὶ ὄνομα τῇ
μητρὶ αὐτοῦ Οψιβα. 2 καὶ ἐποίησεν τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυ- 2
ρίου κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν, ὧν ἐξῆρεν κύριος ἀπὸ προσ-
ώπου τῶν υἱῶν Ισραηλ, 3 καὶ ἐπέστρεψεν καὶ ᾠκοδόμησεν τὰ ὑψη- 3
λά, ἃ κατέσπασεν Εζεκιας ὁ πατὴρ αὐτοῦ, καὶ ἀνέστησεν θυσια-
στήριον τῇ Βααλ καὶ ἐποίησεν ἄλση, καθὼς ἐποίησεν Αχααβ βα-
σιλεὺς Ισραηλ, καὶ προσεκύνησεν πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ
καὶ ἐδούλευσεν αὐτοῖς 4 καὶ ᾠκοδόμησεν θυσιαστήριον ἐν οἴκῳ 4
κυρίου, ὡς εἶπεν Ἐν Ιερουσαλημ θήσω τὸ ὄνομά μου, 5 καὶ ᾠκο- 5
δόμησεν θυσιαστήριον πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ ἐν ταῖς δυσὶν
αὐλαῖς οἴκου κυρίου 6 καὶ διῆγεν τοὺς υἱοὺς αὐτοῦ ἐν πυρὶ καὶ 6
ἐκληδονίζετο καὶ οἰωνίζετο καὶ ἐποίησεν θελητὴν καὶ γνώστας·
ἐπλήθυνεν τοῦ ποιεῖν τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου παροργίσαι
αὐτόν. 7 καὶ ἔθηκεν τὸ γλυπτὸν τοῦ ἄλσους ἐν τῷ οἴκῳ, ᾧ εἶπεν 7
κύριος πρὸς Δαυιδ καὶ πρὸς Σαλωμων τὸν υἱὸν αὐτοῦ Ἐν τῷ
οἴκῳ τούτῳ καὶ ἐν Ιερουσαλημ, ᾗ ἐξελεξάμην ἐκ πασῶν φυλῶν
Ισραηλ, καὶ θήσω τὸ ὄνομά μου ἐκεῖ εἰς τὸν αἰῶνα 8 καὶ οὐ προσ- 8
θήσω τοῦ σαλεῦσαι τὸν πόδα Ισραηλ ἀπὸ τῆς γῆς, ἧς ἔδωκα
τοῖς πατράσιν αὐτῶν, οἵτινες φυλάξουσιν πάντα, ὅσα ἐνετειλάμην
κατὰ πᾶσαν τὴν ἐντολήν, ἣν ἐνετείλατο αὐτοῖς ὁ δοῦλός μου
Μωυσῆς. 9 καὶ οὐκ ἤκουσαν, καὶ ἐπλάνησεν αὐτοὺς Μανασσης τοῦ 9
ποιῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς κυρίου ὑπὲρ τὰ ἔθνη, ἃ ἠφά-
νισεν κύριος ἐκ προσώπου υἱῶν Ισραηλ. 10 καὶ ἐλάλησεν κύριος ἐν 10
χειρὶ δούλων αὐτοῦ τῶν προφητῶν λέγων 11 Ἀνθ᾽ ὧν ὅσα ἐποίησεν 11
Μανασσης ὁ βασιλεὺς Ιουδα τὰ βδελύγματα ταῦτα τὰ πονηρὰ ἀπὸ
πάντων, ὧν ἐποίησεν ὁ Αμορραῖος ὁ ἔμπροσθεν, καὶ ἐξήμαρτεν
καί γε Ιουδα ἐν τοῖς εἰδώλοις αὐτῶν, 12 οὐχ οὕτως, τάδε λέγει 12
κύριος ὁ θεὸς Ισραηλ Ἰδοὺ ἐγὼ φέρω κακὰ ἐπὶ Ιερουσαλημ καὶ

21 και εταφη — δαυιδ > BA† | μανασση B†: item in 21 1. 18. 20, sed in 21 9. 11. 16 23 12. 26 etiam B μανασσης, cf. Par. II 32 33

21 1 μανασσης: cf. 20 21 | οψ(ε)ιβα B*†] αψ. Bc†, οφσιβα *O*, εψιβα *L*† || 3 επεστρ.] απ. A | κατεσπασεν] -σκαψεν A*L*(†) | θυσιαστ.] pr. το A†: item in 4. 5 || 4 ειπεν BA*L*†] + ※κυριος rel. | το ονομα] τον θρονον A† || 5 ταις δυσιν(*L*† δυο)] πασαις *O* || 6 θελητην] ελλην B†, εγγαστριμυθους *L*† || 7 γλυπτον] κρυπτον *O* | του αλσους εν τω οικω] ÷του οικου ⸔ εν τω αλσει ※ω(A† ως) εποιησεν εν τω οικω *O*† | και εν(> A†) ιερουσ. η(A† ην) εξελεξ.] εν ιερουσ. εξελεξ. B†, εξελεξ. εν ιερουσ. *L*† | εκει] > B†, in *O* sub ÷ || 8 οιτινες] πλην εαν *L*† | φυλαξ.] + ※του ποιειν(uel ποιησαι) *O*† | ενετειλαμην] + ※αυτοις *O*† | την > A† | αυτοις > B† || 11 ο ult. > *O*-Sy† | ιουδα B†] -δας *O*, τον ιουδα(uel -δαν) *L*mu. || 12 κακα / επι ιερουσ.] tr. A†